τοῦ θεοῦ αὐτοῦ, ὅτι τὸ ἅγιον ἔλαιον τὸ χριστὸν τοῦ θεοῦ ἐπ᾽ αὐτῷ·
13 ἐγὼ κύριος. [13]οὗτος γυναῖκα παρθένον ἐκ τοῦ γένους αὐτοῦ λήμ-
14 ψεται· [14]χήραν δὲ καὶ ἐκβεβλημένην καὶ βεβηλωμένην καὶ πόρνην,
ταύτας οὐ λήμψεται, ἀλλ᾽ ἢ παρθένον ἐκ τοῦ γένους αὐτοῦ λήμ-
15 ψεται γυναῖκα· [15]καὶ οὐ βεβηλώσει τὸ σπέρμα αὐτοῦ ἐν τῷ λαῷ
αὐτοῦ· ἐγὼ κύριος ὁ ἁγιάζων αὐτόν.
16 [16]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [17]Εἰπὸν Ααρων
17 Ἄνθρωπος ἐκ τοῦ γένους σου εἰς τὰς γενεὰς ὑμῶν, τίνι ἐὰν ᾖ ἐν
αὐτῷ μῶμος, οὐ προσελεύσεται προσφέρειν τὰ δῶρα τοῦ θεοῦ
18 αὐτοῦ. [18]πᾶς ἄνθρωπος, ᾧ ἂν ᾖ ἐν αὐτῷ μῶμος, οὐ προσελεύ-
19 σεται, ἄνθρωπος χωλὸς ἢ τυφλὸς ἢ κολοβόρριν ἢ ὠτότμητος [19]ἢ
ἄνθρωπος, ᾧ ἐστιν ἐν αὐτῷ σύντριμμα χειρὸς ἢ σύντριμμα ποδός,
20 [20]ἢ κυρτὸς ἢ ἔφηλος ἢ πτίλος τοὺς ὀφθαλμοὺς ἢ ἄνθρωπος, ᾧ ἂν
21 ᾖ ἐν αὐτῷ ψώρα ἀγρία ἢ λιχήν, ἢ μόνορχις, [21]πᾶς, ᾧ ἐστιν ἐν
αὐτῷ μῶμος, ἐκ τοῦ σπέρματος Ααρων τοῦ ἱερέως, οὐκ ἐγγιεῖ τοῦ
προσενεγκεῖν τὰς θυσίας τῷ θεῷ σου· ὅτι μῶμος ἐν αὐτῷ, τὰ
22 δῶρα τοῦ θεοῦ οὐ προσελεύσεται προσενεγκεῖν. [22]τὰ δῶρα τοῦ
23 θεοῦ τὰ ἅγια τῶν ἁγίων καὶ ἀπὸ τῶν ἁγίων φάγεται· [23]πλὴν πρὸς
τὸ καταπέτασμα οὐ προσελεύσεται καὶ πρὸς τὸ θυσιαστήριον οὐκ
ἐγγιεῖ, ὅτι μῶμον ἔχει· καὶ οὐ βεβηλώσει τὸ ἅγιον τοῦ θεοῦ αὐ-
24 τοῦ, ὅτι ἐγώ εἰμι κύριος ὁ ἁγιάζων αὐτούς. [24]καὶ ἐλάλησεν Μωυ-
σῆς πρὸς Ααρων καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ πρὸς πάντας υἱοὺς
Ισραηλ.
22 [1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Εἰπὸν Ααρων καὶ
τοῖς υἱοῖς αὐτοῦ καὶ προσεχέτωσαν ἀπὸ τῶν ἁγίων τῶν υἱῶν
Ισραηλ καὶ οὐ βεβηλώσουσιν τὸ ὄνομα τὸ ἅγιόν μου, ὅσα αὐτοὶ
3 ἁγιάζουσίν μοι· ἐγὼ κύριος. [3]εἰπὸν αὐτοῖς Εἰς τὰς γενεὰς ὑμῶν
πᾶς ἄνθρωπος, ὃς ἂν προσέλθῃ ἀπὸ παντὸς τοῦ σπέρματος ὑμῶν
πρὸς τὰ ἅγια, ὅσα ἂν ἁγιάζωσιν οἱ υἱοὶ Ισραηλ τῷ κυρίῳ, καὶ ἡ
ἀκαθαρσία αὐτοῦ ἐπ᾽ αὐτῷ, ἐξολεθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἀπ᾽
4 ἐμοῦ· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. [4]καὶ ἄνθρωπος ἐκ τοῦ σπέρματος
Ααρων τοῦ ἱερέως καὶ οὗτος λεπρᾷ ἢ γονορρυής, τῶν ἁγίων οὐκ
ἔδεται, ἕως ἂν καθαρισθῇ· καὶ ὁ ἁπτόμενος πάσης ἀκαθαρσίας ψυχῆς
5 ἢ ἄνθρωπος, ᾧ ἂν ἐξέλθῃ ἐξ αὐτοῦ κοίτη σπέρματος, [5]ἢ ὅστις
ἂν ἅψηται παντὸς ἑρπετοῦ ἀκαθάρτου, ὃ μιανεῖ αὐτόν, ἢ ἐπ᾽ ἀν-
6 θρώπῳ, ἐν ᾧ μιανεῖ αὐτὸν κατὰ πᾶσαν ἀκαθαρσίαν αὐτοῦ, [6]ψυχή,

13 γυναικα > B*A† || 14 εκβεβλ.] εβδελυγμενην A† | γενους] λαου B†, > A† || 17 η] ην A† | προσφερων A† || 18 χωλος .. τυφλος] tr. Bc || 19 η $1^0$ > B*A† || 20 τοις οφθαλμοις A† | ω] ος A† || 21 ω] ος A† | ουκ εγγιει] ου προσεγγ. B*A(†) | τω θεω] του θεου A† || 23 αυτου > A† || 24 μωυσης προς] κυριος προς μωυσην και B*(uid.)A†: cf. 22 1

22 2 των $2^0$ > A† || 3 παντος > B* | του > A | αυτω] + η B† || 4 λεπρος A | γονορρυη Bc || 5 η $1^0$ > BA†